A του δὲ Ἴαρχος ἐφ' οὗ αἱ Νεφέλαι εἰσήχθησαν. ὁ μέντοι Ανδροτίων ἐπὶ Ἀλκαίου φησὶ τοῦ μετὰ Ἀμινίαν, τὸν Κλέωνα δηλονότι ὕστερον ἔτεσι τεθνάναι τῆς τῶν Νεφελῶν διδασκαλίας. εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Ἀριστοφάνης. οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς τὸν Κλέωνα τὸν λάρον δώρων.

Bisetus. Κολετρῶσι] Σ. κολετρῶσι, κατὰ κώλου τύπτουσι, διὰ τοῦ ω. εἰσὶ δὲ οἱ τὸ κῶλον, καὶ τὸ κόλον ταυτὸν εἶναι νομίζουσιν. ὅθεν τὴν νόσον καὶ κωλικὴν, καὶ κολικὴν καλοῦσιν. ἀλλ' οὐ καλῶς. τὸ γὰρ κῶλον τοῦ κόλου διαφέρει. κόλον γὰρ κατὰ τὸν Ἀθήναιον λέγεται ἡ τροφή. ὅθεν ὁ βουκόλος, καὶ ὁ δύσκολος, τουτέστι δυσάρεστος, καὶ στικχός. ὅθεν καὶ κοιλία, ἡ τὴν τροφὴν δεχομένη. καὶ κόλον τὸ κενὸν, τὸ μάταιον, τὸ κολοβόν. Ὅμηρος „ Πὴλ' αὔτως ἐν χερσὶ κόλον δόρυ. τουτέστι κολοβὸν, κεκολοβωμένον. Εὐστάθιος. κόλον ἡ τροφὴ, κόλον, τὸ μέγα, ἢ τὸ κολοβὸν, καὶ μὴ ἔχον ὁλότητα. κόλος βοῦς, ὁ κεκολουμένος τὰ κέρατα. κόλον δόρυ, τὸ κεκολουμένον τὴν αἰχμὴν, καὶ ἐκ τοῦ κόλον, καὶ βοῦς, γίνεται τὸ κολοβὸς, ὅθεν καὶ τὸ κολοβοῦν, ὃ καὶ κολούειν λέγεται. τὸ δὲ κῶλον, τὸ μέρος σημαίνει. καὶ κῶλον, τὸ μονέντερον, καὶ παχὺ τοῦ σώματος ἔντερον, ὅθεν ἡ διάθεσις κωλική. καὶ τὸ τοῦ λόγου πεζοῦ μέρος τι. καὶ παρὰ τοῖς Λυρικοῖς, τοῖς Κωμικοῖς, καὶ τοῖς Τραγικοῖς, τὰ κῶλα μέρος τοῦ ποιήματος αὐτῶν. περὶ τούτων δὲ ὁ Ἡφαιστίων ἀκριβέστερον πολλὰ παραδέδωκεν. ἀλ-B λαχοῦ δὲ ἄλλαι τοῦ κώλου σημασίαι.

Σχόλια. Καὶ τὴν μητέρα.] τὴν Ὑπερβόλου. τὴν δοκοῦσαν ἐν ταῖς ἀρτοπώλισι. πολλὰ κατ' αὐτοῦ εἶπεν Ἕρμιππος. Ἐκστρέψας.] πάντα τὰ ἐμά φησιν ἔλαβεν.

Ἣν Φρύνιχος πάλαι πεποίηχ' ἣν τὸ κῆτος ἤσθιεν.
Εἶθ' Ἕρμιππος αὖθις πεποίηκεν εἰς Ὑπέρβολον. C
Ἄλλοι τ' ἤδη πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον.
Τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
Ὅστις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω.
Ἢν δ' ἐμοὶ καὶ τοῖσιν ἐμοῖς εὐφραίνησθ' εὑρήμασιν, D
Ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

*Qualem olim introduxit Phrynichus, deuoratam à belua,*
*Maris. Exinde nouam rursus fecit Hermippus in Hyperbolum:*
*Et nunc cæteri simul omnes ingruunt in Hyperbolum:*
*Imitantes meam de anguillis sat notam imaginem.*
*His quicunque applaudit, is ne delectetur meis.*
*Sin voluptatem aliquam ex me meísque inuentis percipitis:*
*Reliquum in tempus rectè vos sapere indicauero.*

Σχόλια. Ἣν Φρύνιχος.] φέρεται ὑπεύθυνος Φρυνίχου. μήποτε οὖν ἐκείνην φράζων ὡς γραῦν ἐκκειμένην τῷ κήτει. καὶ ἴσως ἐν Ὑπερβόλῳ ἂν λέγοι αὐτὸς, ὅτι τὸ κῆτος ἤσθιεν. ἄλλως. εἰσῆγε γραῦν Φρύνιχος ὑπὸ κήτους ἐσθιομένην κατὰ μίμησιν Ἀνδρομέδας διὰ γέλωτα E τῶν θεατῶν. ἦν δὲ καὶ αὐτὸς κωμῳδίας ποιητής. Εἶθ' Ἕρμιππος.] Ἕρμιππος μὲν, δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον· ἔοικε δὲ τὸ πλείστας ἀρτοπώλιδας λεχθὲν, κατ' αὐτοῦ σημαίνειν.

Bisetus. Τὰς εἰκοὺς] ἐν τοῖς πρότερον ἀντιγράφοις τὸ εἰκοὺς κακῶς μετὰ περισπωμένης ἐγράφετο. ἀλλὰ γὰρ ὀξύτονον εἰκοὺς, ὡς Λητοὺς ἐν τῇ αἰτιατικῇ πληθυντικῇ κατὰ τοὺς γραμματικοὺς κανόνας. εἰκὼ δὲ, εἰκόος, εἰκοῦς, καὶ εἰκὼν, εἰκόνος ταυτόν. Εὐριπίδης Μηδείᾳ, Ἄψυχον εἰκὼ προσβλέπουσα σώματος.

Σχόλια. Τῶν ἐγχέλεων.] ἀντὶ τοῦ λέξεων εἰπεῖν, ἐγχέλεων ἔφη. παρόσον ἐν τοῖς Ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πεπόνθασι. τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησὶ εἰληφέναι τοὺς ἄλλους ὁ Ἀριστοφάνης. Τούτοισι γελᾷ.] εἴ τις ἐκείνοις τέρπεται καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προσίτω. Εὖ φρονεῖν.] παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν ἐλεύσεσθε, ἐπήνεγκεν ὅτι φρόνιμοι δόξετε εἶναι καὶ εὔνομοι καὶ εὐφρονοῦντές μοι. διὸ ἐπισημειοῦνται τὴν λέξιν ἔδει τὸ χ.

F

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ.

Χο. Ὑψιμέδοντα μὲν θεῶν
Ζῆνα τύραννον, ἐς χορὸν
Πρῶτα μέγαν κικλήσκω.

STROPHE, CONVERSIO CHORI.

*PRincipio Iouem Optimum*
*Maximum, ad hunc chorum inuoco,*
*Cælicolum potentem,*

G

Σχόλια. Ὑψιμέδοντα μὲν,] τοῦτο ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ. ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διϊάμβῳ. τὸ β ὅμοιον. τὸ τρίτον δίμετρον καταληκτικὸν, ἐπιμεμιγμένον βακχείῳ. ὃ καλεῖται ἰθυ-